Antigone and Creon argue about how shameful her actions are

Ἀντιγόνη	θέλεις τι μεῖζον ἢ κατακτεῖναί μ' ἑλών;
Κρέων	ἐγὼ μὲν οὐδέν· τοῦτ' ἔχων ἅπαντ' ἔχω.
Ἀντιγόνη	τί δῆτα μέλλεις; ὡς ἐμοὶ τῶν σῶν λόγων
	ἀρεστὸν οὐδὲν μηδ' ἀρεσθείη ποτέ·
	οὕτω δὲ καὶ σοὶ τἄμ' ἀφανδάνοντ' ἔφυ.
	καίτοι πόθεν κλέος γ' ἂν εὐκλεέστερον
	κατέσχον ἢ τὸν αὐτάδελφον ἐν τάφῳ
	τιθεῖσα; τούτοις τοῦτο πᾶσιν ἀνδάνειν
	λέγοιτ' ἄν, εἰ μὴ γλῶσσαν ἐγκλῄοι φόβος.
	ἀλλ' ἡ τυραννὶς πολλά τ' ἄλλ' εὐδαιμονεῖ
	κἄξεστιν αὐτῇ δρᾶν λέγειν θ' ἃ βούλεται.
Κρέων	σὺ τοῦτο μούνη τῶνδε Καδμείων ὁρᾷς.
Ἀντιγόνη	ὁρῶσι χοὗτοι, σοὶ δ' ὑπίλλουσιν στόμα.
Κρέων	σὺ δ' οὐκ ἐπαιδεῖ, τῶνδε χωρὶς εἰ φρονεῖς;
Ἀντιγόνη	οὐδὲν γὰρ αἰσχρὸν τοὺς ὁμοσπλάγχνους σέβειν.

Sophocles Antigone 497-511

1B 2 2007 Seen